27/09/2026

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής Α΄ Λουκά

/ Ορθόδοξες Προβολές



Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής Α΄ Λουκά: Λουκ. ε΄ 1-11 (27-9-2026)

Τῷ καιρῷ ἐκείνῳ, ἑστὼς ὁ Ἰησοῦς παρὰ τὴν λίμνην Γεννησαρέτ, εἶδε δύο πλοῖα, ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ᾽ αὐτῶν, ἀπέπλυναν τὰ δίκτυα.

Ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον· καὶ καθίσας, ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους.

Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα· Ἐπανάγαγε εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν.

Καὶ ἀποκριθεὶς ὁ Σίμων, εἶπεν αὐτῷ· Ἐπιστάτα, δι᾽ ὅλης τῆς νυκτὸς κοπιάσαντες, οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον.

Καὶ τοῦτο ποιήσαντες, συνέκλεισαν πλῆθος ἰχθύων πολύ· διεῤῥήγνυτο δὲ τὸ δίκτυον αὐτῶν.

Καὶ κατένευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον, καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά.

Ἰδὼν δὲ Σίμων Πέτρος, προσέπεσε τοῖς γόνασι τοῦ Ἰησοῦ, λέγων· Ἔξελθε ἀπ᾽ ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε.

Θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ᾗ συνέλαβον· ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι.

Καὶ εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς· Μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν.

Καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα, ἠκολούθησαν αὐτῷ.

Απόδοση στη νεοελληνική

Τον καιρό εκείνον, ο Ιησούς στεκόταν κοντά στη λίμνη της Γεννησαρέτ. Είδε δύο πλοία στην άκρη της λίμνης και οι ψαράδες είχαν βγει από αυτά και έπλεναν τα δίχτυα.

Αφού μπήκε σε ένα από τα πλοία, το οποίο ήταν του Σίμωνος, τον παρακάλεσε να απομακρυνθεί λίγο από την ξηρά. Και αφού κάθισε, δίδασκε τα πλήθη από το πλοίο.

Μόλις σταμάτησε να μιλά, είπε στον Σίμωνα: «Πήγαινε το πλοίο πάλι στα βαθιά και ρίξτε τα δίχτυα για ψάρεμα».

Και ο Σίμων αποκρίθηκε και του είπε: «Δάσκαλε, όλη τη νύχτα κοπιάσαμε και δεν πιάσαμε τίποτε, αλλά αφού εσύ το λες, θα ρίξω το δίχτυ».

Και αφού το έκαναν, έπιασαν πάρα πολλά ψάρια, αλλά άρχισε να σχίζεται το δίχτυ τους. Τότε έκαναν νεύματα στους επιβαίνοντες στο άλλο πλοίο να έλθουν και να τους βοηθήσουν. Και ήλθαν και γέμισαν και τα δύο πλοία, σε σημείο που κινδύνευαν να βυθιστούν.

Όταν το είδε ο Σίμων Πέτρος, έπεσε στα γόνατα του Ιησού και έλεγε: «Φύγε από κοντά μου, γιατί είμαι αμαρτωλός, Κύριε».

Γιατί είχε μείνει κατάπληκτος, αυτός και όλοι όσοι ήταν μαζί του, για τα πολλά ψάρια που είχαν πιάσει. Το ίδιο έκπληκτοι έμειναν και οι γιοι του Ζεβεδαίου,

Ιάκωβος και Ιωάννης, που ήταν συνέταιροι του Σίμωνος.

Τότε ο Ιησούς είπε στον Σίμωνα: «Μη φοβάσαι· από τώρα θα ψαρεύεις ανθρώπους».

Και αφού επανέφεραν τα πλοία στην ξηρά, τα άφησαν όλα και τον ακολούθησαν.

(Η Καινή Διαθήκη, το πρωτότυπο κείμενο με νεοελληνική απόδοση του ομοτ. καθηγ. Χρ. Βούλγαρη, εκδ. Αποστολικής Διακονίας.)